λυποῦσι δ᾽ οὖν ὥσπερ οἱ δρῶντες καὶ οἱ λέγοντες, ἀλλ᾽ ὅμως οὐκ ἔστι γλώσσης ῥεούσης ἐπίσχεσις οὐδὲ κολασμός. ἐν Λακεδαίμονι τῆς Χαλκιοίκου τὸ ἱερὸν ὤφθη σεσυλημένον, καὶ κειμένη ἔνδον κενὴ λάγυνος. ἦν οὖν ἀπορία πολλῶν συνδεδραμηκότων, καί τις τῶν παρόντων 'εἰ βούλεσθ᾽', ἐγὼ φράσω ὑμῖν ὅ μοι παρίσταται περὶ τῆς λαγύνου· νομίζω γάρ' ἔφη 'τοὺς ἱεροσύλους ἐπὶ τηλικοῦτον ἐλθεῖν κίνδυνον κώνειον ἐμπιόντας καὶ κομίζοντας οἶνον, ἵν᾽, εἰ
E μὲν αὐτοῖς λαθεῖν ἐγγένοιτο, τῷ ἀκράτῳ ποθέντι σβέσαντες καὶ διαλύσαντες τὸ φάρμακον ἀπέλθοιεν ἀσφαλῶς· εἰ δ᾽ ἁλίσκοιντο, πρὸ τῶν βασάνων ὑπὸ τοῦ φαρμάκου ῥᾳδίως καὶ ἀνωδύνως ἀποθάνοιεν.' ταῦτ᾽ εἰπόντος αὐτοῦ τὸ πρᾶγμα πλοκὴν ἔχον καὶ περινόησιν τοσαύτην οὐχ ὑπονοοῦντος ἀλλ᾽ εἰδότος ἐφαίνετο· καὶ περιστάντες αὐτὸν ἀνέκριναν ἀλλαχόθεν ἄλλος 'τίς εἶ;' καί 'τίς σ᾽ οἶδε;' καί 'πόθεν ἐπίστασαι ταῦτα;' καὶ τὸ πέρας ἐλεγχόμενος οὕτως ὡμολόγησεν εἷς εἶναι τῶν ἱεροσύλων. οἱ δ᾽ Ἴβυκον ἀποκτείναντες οὐχ οὕτως ἑάλωσαν, ἐν θεάτρῳ καθεζόμενοι καὶ
F γεράνων παραφανεισῶν πρὸς ἀλλήλους ἅμα γέλωτι ψιθυρίζοντες, ὡς αἱ Ἰβύκου ἔκδικοι πάρεισιν; ἀκούσαντες γὰρ οἱ καθεζόμενοι πλησίον, ἤδη τοῦ Ἰβύκου πολὺν χρόνον ὄντος ἀφανοῦς καὶ ζητουμένου, ἐπελάβοντο τῆς φωνῆς καὶ προσήγγειλαν τοῖς ἄρχουσιν. ἐλεγχθέντες δ᾽ οὕτως ἀπήχθησαν, οὐχ ὑπὸ τῶν γεράνων κολασθέντες ἀλλ᾽ ὑπὸ τῆς
510 αὐτῶν | γλωσσαλγίας ὥσπερ Ἐρινύος ἢ Ποινῆς βιασθέν-